UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta logica et physica

**Arnim, Hans von**

**Lipsiae, 1903**

Physica IV. De animalibus et plantis

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2762

Visual Library

# Physica IV.

## De animalibus et plantis.

### § 1. De plantis.

**708** Aëtius Plac. V 26, 3. *Οἱ Στωϊκοὶ δὲ καὶ Ἐπικούρειοι οὐκ ἔμψυχα* (*τὰ φυτὰ* scil.). *τινὰ γὰρ ψυχῆς ὁρμητικῆς εἶναι καὶ ἐπιθυμητικῆς, τινὰ δὲ καὶ λογικῆς· τὰ δὲ φυτὰ αὐτομάτως πως κινεῖσθαι, οὐ διὰ ψυχῆς.* Cf. Theodoret V, 25 p. 73, 39.

**709** Themistius paraphr. in Aristot. de anima II, 2 p. 83 Sp. *μέσος τοίνυν Πλάτωνος καὶ τῶν ἀπὸ τῆς Στοᾶς Ἀριστοτέλης, ἔμψυχα μὲν τὰ φυτὰ λέγων, ζῷα δὲ μή· ἐκείνων δὲ ὁ μὲν ἄμφω, οἱ δὲ οὐδέτερον.*

**710** Galenus de Hipp. et Plat. plac. VI (509 M. 561 K.). *οἱ δὲ Στωϊκοὶ οὐδὲ ψυχὴν ὅλως ὀνομάζουσι τὴν τὰ φυτὰ διοικοῦσαν, ἀλλὰ φύσιν.*

**711** Alexander Aphrod. de anima libri mant. p. 118, 12 Bruns. *ὅτι γὰρ τὸ φυτικὸν ψυχή ἐστι καὶ ψυχῆς μέρος καὶ δύναμις, οὗ μόρια τὸ θρεπτικὸν καὶ τὸ αὐξητικὸν καὶ γεννητικόν, ἀλλὰ οὐκ, ὥς τινές φασιν, φύσις δείξομεν.*

**712** Galenus de foetuum formatione 3. K. IV p. 665. *καὶ μέντοι καὶ περὶ τῆς τῶν φυτῶν γενέσεως ἐσκέφθαι τι χρὴ πρότερον· ἐκ γὰρ τῶν εἰς ταῦτα ἀναγκαίων ἕν ἐστι καὶ τὸ γιγνώσκειν, ὁποίων τε καὶ ὁπόσων δεῖται τὸ κύημα, μέχρις ἂν ὑπὸ μιᾶς διοικῆται ψυχῆς, ὡς τὰ φυτά. Καλοῦμεν δὲ τὴν ψυχὴν ταύτην, ὅταν μὴ περὶ τούτου προκείμενον ᾖ σκοπεῖν, τῷ κοινῷ πάσης οὐσίας προσρήματι φύσιν ὀνομάζοντες, ὃ κἂν ταῖς ἀκριβέσι σκέψεσιν οἱ περὶ Χρύσιππον ἐφύλαξαν* etc.

**713** Philo de mundi opificio § 43 Vol. I p. 13, 21 Wendl. *Ἀλλ᾽ οὐ μόνον ἦσαν οἱ καρποὶ τροφαὶ ζῴοις, ἀλλὰ καὶ παρασκευαὶ πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν, τὰς σπερματικὰς οὐσίας περιέχουσαι, ἐν αἷς ἄδηλοι καὶ ἀφανεῖς οἱ λόγοι τῶν ὅλων εἰσί, δῆλοι καὶ φανεροὶ γινόμενοι καιρῶν περιόδοις.*

---

6 *γεγενῆσθαι* libri, corr. Diels. 19 *ἕν ἐστι* scripsi, *ἔνεστι* vulg. 27 *περιέχοντες* cod. V.

## § 2. De brutis animalibus.

**714** Clemens Al. Stromat. II p. 487 Pott. *Τῶν γὰρ κινουμένων ἃ μὲν καθ' ὁρμὴν καὶ φαντασίαν κινεῖται, ὡς τὰ ζῷα· τὰ δὲ κατὰ μετάθεσιν, ὡς τὰ ἄψυχα· κινεῖσθαι δὲ καὶ τῶν ἀψύχων τὰ φυτὰ μεταβατικῶς φασὶν εἰς αὔξησιν, εἴ τις αὐτοῖς ἄψυχα εἶναι συγχωρήσει τὰ φυτά. Ἕξεως μὲν οὖν οἱ λίθοι, φύσεως δὲ τὰ φυτά, ὁρμῆς δὲ καὶ φαντασίας τῶν τε αὖ δυοῖν τῶν προειρημένων καὶ τὰ ἄλογα μετέχει ζῷα· ἡ λογικὴ δὲ δύναμις ἰδία οὖσα τῆς ἀνθρωπείας ψυχῆς οὐχ ὡσαύτως τοῖς ἀλόγοις ζῴοις ὁρμᾶν ὀφείλει, ἀλλὰ καὶ διακρίνειν τὰς φαντασίας καὶ μὴ συναποφέρεσθαι αὐταῖς.*

**715** Galenus comm. 5 in Hippocr. epid. 6 ed. Bas. V 510 K. XVII B. 250. *τοῖς Στωϊκοῖς δ' ἔθος ἐστὶ φύσιν μὲν ὀνομάζειν ᾗ τὰ φυτὰ διοικεῖται, ψυχὴν δὲ ᾗ τὰ ζῷα· τὴν ⟨δ'⟩ οὐσίαν ἀμφοτέρων μὲν τίθενται τὸ σύμφυτον πνεῦμα καὶ διαφέρειν ἀλλήλων οἴονται ποιότητι. ξηρότερον μὲν γὰρ πνεῦμα τὸ τῆς ψυχῆς, ὑγρότερον δὲ τὸ τῆς φύσεως εἶναι, δεῖσθαι δ' ἄμφω πρὸς διαμονὴν οὐ τροφῆς μόνον, ἀλλὰ καὶ ἀέρος.*

**716** [Galenus] introductio s. medicus 9 ed. Bas. IV 375. K. XIV 697. *πνεύματα δὲ κατὰ τοὺς παλαιοὺς δύο ἐστί, τό τε ψυχικὸν καὶ τὸ φυσικόν. οἱ δὲ Στωϊκοὶ καὶ τρίτον εἰσάγουσι τὸ ἑκτικόν, ὃ καλοῦσιν ἕξιν.*

ibid. p. 726. *τοῦ δὲ ἐμφύτου πνεύματος διττὸν εἶδος, τὸ μὲν φυσικόν, τὸ δὲ ψυχικόν· εἰσὶ δὲ οἳ καὶ τρίτον εἰσάγουσι, τὸ ἑκτικόν· ἑκτικὸν μὲν οὖν ἐστι πνεῦμα τὸ συνέχον τοὺς λίθους, φυσικὸν δὲ τὸ τρέφον τὰ ζῷα καὶ τὰ φυτά, ψυχικὸν δὲ τὸ ἐπὶ τῶν ἐμψύχων αἰσθητικά τε ποιοῦν τὰ ζῷα καὶ κινούμενα πᾶσαν κίνησιν.*

**717** Proclus in Plat. Parmen. Vol. V p. 135 ed. Cousin. *ἵνα δὲ μένῃ τὰ μετέχοντα τῆς ἰδέας ἀεὶ καὶ μηδέποτε ἐκλείπῃ, δεῖ τινος ἄλλης αἰτίας, οὐκ ἐν αὐτοῖς οὔσης ἢ κινουμένης, ἀλλ' ἐφ' ἑαυτῆς ἱδρυμένης, πρὸ τῶν κινουμένων ἀκινήτου καὶ διὰ τὴν οἰκείαν σταθερότητα προξενούσης καὶ τοῖς κινουμένοις τὴν ἀνέκλειπτον μετοχήν· ταύτης γὰρ ἐφιέμενοι πάντες τῆς αἰτίας, οἱ μὲν τοὺς σπερματικοὺς λόγους εἶναι τούτους οἰηθέντες, ἀφθάρτους αὐτοὺς ἐποίησαν, ὡς οἱ ἀπὸ τῆς Στοᾶς· οἱ δὲ* etc.

**718** Galenus adv. Iulianum 5. Vol. XVIII A p. 266 K. *ἅπαν μὲν γὰρ φυτὸν ὑπὸ φύσεως διοικεῖται, πᾶν δὲ ζῷον ὑπὸ φύσεώς τε ἅμα καὶ ψυχῆς· εἴ γε δὴ τὴν μὲν τοῦ τρέφεσθαί τε καὶ αὐξάνεσθαι καὶ τῶν τοιούτων ἔργων αἰτίαν ὀνομάζομεν ἅπαντες ἄνθρωποι φύσιν, τὴν δὲ τῆς αἰσθήσεώς τε καὶ ἐξ ἑαυτῆς κινήσεως ψυχήν.*

**719** Philo de fuga et inventione § 112 Vol. III p. 133, 26 Wendl. *Ὅ τε γὰρ τοῦ Ὄντος λόγος, δεσμὸς ὢν τῶν ἁπάντων, ὡς εἴρηται, καὶ συνέχει τὰ μέρη πάντα καὶ σφίγγει, κωλύων αὐτὰ διαλύεσθαι καὶ διαρτᾶσθαι. Ἥ τ' ἐπὶ μέρους ψυχή, καθ' ὅσον δυνάμεως μεμοίραται, τῶν τοῦ σώματος οὐδὲν ἀποσχίζεσθαι καὶ ἀποτέμνεσθαι μερῶν παρὰ φύσιν ἐᾷ, τὸ δ' ἐπ' αὐτῇ πάντα ὁλόκληρα ὄντα ἁρμονίαν καὶ ἕνωσιν ἀδιάλυτον ἄγει τὴν πρὸς ἄλληλα* etc.

**720** Iamblichus de anima apud Stobaeum ecl. I p. 375, 20 W. *κατὰ δ' αὖ τοὺς Στωϊκοὺς ἀτελέστερα ἀεὶ ἀπομερίζεται τὰ τοιαῦτα τῆς ζωῆς*

---

6 δὲ Wil., τε cod. ante καί. 12 δ' addidi. 35 ἐξ ἑαυτῆς scripsi, ἕξεως αὐτῆς ed. 38 καὶ κωλύει H². 44 ad differentiam, quae est inter animam hominis

ἐνεργήματα· καὶ ὅσῳ ἂν ᾖ προϊόντα προσωτέρω τῆς ἀλογίας, τοσῷδε μᾶλλον ἐπὶ τὸ ἀτελέστερον ἀποφέρεται τὰ καταδεέστερα τῶν πρεσβυτέρων.

**721** Clemens Al. Stromat. VII 6 p. 850 Pott. ἤδη δὲ τὰ μὲν χερσαῖα καὶ τὰ πτηνὰ τὸν αὐτὸν ταῖς ἡμετέραις ψυχαῖς ἀναπνέοντα ἀέρα τρέφεται, συγγενῆ τῷ ἀέρι τὴν ψυχὴν κεκτημένα· τοὺς δὲ ἰχθῦς οὐδὲ ἀναπνεῖν φασὶ τοῦτον τὸν ἀέρα, ἀλλ᾽ ἐκεῖνον ὃς ἐγκέκραται τῷ ὕδατι εὐθέως κατὰ τὴν πρώτην γένεσιν, καθάπερ καὶ τοῖς λοιποῖς στοιχείοις· ὃ καὶ δεῖγμα τῆς ὑλικῆς διαμονῆς.

**722** Philo de mundi opificio § 66 Vol. I p. 21, 21 Wendl. *Διὸ τῶν ἐμψύχων πρώτους ἐγέννησεν ἰχθύας, πλέον μετέχοντας σωματικῆς ἢ ψυχικῆς οὐσίας, τρόπον τινὰ ζῷα καὶ οὐ ζῷα, κινητὰ ἄψυχα, πρὸς αὐτὸ μόνον τὴν τῶν σωμάτων διαμονὴν παρασπαρέντος αὐτοῖς τοῦ ψυχοειδοῦς, καθάπερ φασὶ τοὺς ἅλας τοῖς κρέασιν, ἵνα μὴ ῥᾳδίως φθείροιντο.*

**723** Cicero de finibus V 38. ut non inscite illud dictum videatur in sue, animum illi pecudi datum pro sale, ne putisceret.

Cf. Varro de r. r. II 4, 10. Plut. quaest. conv. V 10, 3. Clemens Alex. Strom. II 20, 105 p. 484 P.

**724** Plutarchus de Stoic. repugn. cp. 12 p. 1038b. ἐν δὲ τῷ πρώτῳ περὶ Δικαιοσύνης „καὶ τὰ θηρία φησὶ συμμέτρως τῇ χρείᾳ τῶν ἐκγόνων ᾠκειῶσθαι πρὸς αὐτά, πλὴν τῶν ἰχθύων· αὐτὰ γὰρ τὰ κυήματα τρέφεται δι᾽ αὐτῶν." — ἡ γὰρ οἰκείωσις αἴσθησις ἔοικε τοῦ οἰκείου καὶ ἀντίληψις εἶναι.

**725** Origenes contra Celsum IV 87. Vol. I p. 357, 25 Kö. (p. 567 Del.). Ἔστω δὲ καὶ ἄλλα ὑπὸ τῶν ζῴων γιγνώσκεσθαι ἀλεξιφάρμακα, τί οὖν τοῦτο πρὸς τὸ μὴ φύσιν ἀλλὰ λόγον εἶναι τὸν εὑρίσκοντα ταῦτα ἐν τοῖς ζῴοις; εἰ μὲν γὰρ λόγος ἦν ὁ εὑρίσκων, οὐκ ἂν ἀποτεταγμένως τόδε τι μόνον εὑρίσκετο ἐν ὄφεσιν, ἔστω καὶ δεύτερον καὶ τρίτον, καὶ ἄλλο τι ἐν ἀετῷ καὶ οὕτως ἐν τοῖς λοιποῖς ζῴοις· ἀλλὰ τοσαῦτα ἂν ὅσα καὶ ἐν ἀνθρώποις· νυνὶ δὲ φανερὸν ἐκ τοῦ ἀποτεταγμένως πρός τινα ἑκάστου φύσιν ζῴου νενευκέναι βοηθήματα, ὅτι οὐ σοφία οὐδὲ λόγος ἐστὶν ἐν αὐτοῖς, ἀλλά τις φυσικὴ πρὸς τὰ τοιάδε σωτηρίας ἕνεκεν τῶν ζῴων κατασκευή, ὑπὸ τοῦ λόγου γεγενημένη.

**726** Philo de animalibus adv. Alexandrum p. 147 Aucher. Canis cum persequebatur feram, perveniens ad fossam profundam, iuxta quam duae erant semitae, una ad dextram, altera in sinistram, paululum se sistens, quo ire oporteat, meditabatur. Currens autem ad dexteram et nullum inveniens vestigium, reversus per alteram ibat. Quando vero neque in ista aperte appareret aliquod signum, transiliens fossam curiose indagat, praeter odoratum cursum accelerans; satis declarans non obiter haec facere, sed potius vera inquisitione consilii. Consilium autem talis cogitationis dialectici appellant demonstrativum evidens quinti modi: „Quoniam vel ad dextram fera fugit vel ad sinistram aut demum transsiliit, ⟨atqui neque ad dextram fugit neque ad sinistram; ergo transsiliit⟩."

---

et ceterorum animalium animas, haec referenda esse docet sententiarum conexus.
13 *διαφθείροιντο* codd. ABP. 15 putisceret *Nonius*, putresceret *libri Cic.* 43 Supplevi syllogismum, qui est Chrysippi *πέμπτος ἀναπόδεικτος* cf.

idem p. 166 Aucher. Proscribenda et opinio eorum, qui canem venaticum bestias persequentem autumarunt quinto argumenti modo uti. Idem dicendum de collectoribus conchyliorum deque quaerentibus quidquam; indicia enim rerum sequentur, apparenter sub specie dialectica, verum tamen nec per somnium quidem philosophentur; alioquin dicendum esset de omnibus aliquid quaerentibus, quod quintum illum modum usurpent. — — Nos enim dicimus, quod ex decentibus bonisque sibi convenientibus multisque rebus invantibus ad sanitatem perseverationemque valetudinis habent appetitionem et universali comprehensione universorum carentes eam possident certitudinem, quae in propria specie cernitur. Verum tamen rationalis habitus necesse est illa nullam habere participationem. Rationalis autem habitus est syllogismus ex apprehensione entium, quae minime adsunt; ut intellectus de deo, de mundo, de lege, de patrio more, de civitate, de politica — quorum nihil percipiunt bestiae.

**727** Sextus adv. math. VIII 270. *καίτοι τί περὶ ἀνθρώπων λέγομεν, ὅτε καὶ τοῖς ἀλόγοις ζῴοις τινὲς αὐτῶν* (Stoicorum, scil. Chrysippus) *μεταδεδώκασι τῆς τοῦ σημείου νοήσεως; καὶ γὰρ ὁ κύων, ὅτε ἐκ τοῦ ἴχνους στιβεύει τὸ θηρίον, σημειοῦται — καὶ ὁ ἵππος κατὰ τὴν τοῦ μύωπος προσβολὴν ἢ τὴν τῆς μάστιγος ἐπανάτασιν ἐξάλλεται — καὶ ὀρούει πρὸς δρόμον.*

**728** Philo de animalibus adv. Alexandrum p. 155 Aucher. Ecce enim quaedam animantia praeter iam dictas virtutes iustitiam etiam prae se tulerunt, natantia, terrestria et aërea. Quandoquidem iam in marinis pinae et satellitis eius aequitas in societate manifesta est; contubernium enim commune cibi habent et aequaliter eum distribuunt. Idem facere et trochilum ac pompilum in confesso est apud omnes, qui minores iis comperiuntur in vita communi. Inter volucres autem vel ipsam supremam iustitiam ciconia demonstrat, parentes nutriens, et statim ut alata fuerit, nullum aliud opus sibi proponens, antequam gratias retribuat et benefacientibus sibi vices reddat. Verum hoc pariter et terrestrium aliqua agere persuasum est. — — Aequum est quidem non nonnullis, sed universis partibus mundum compositum esse; verum partem eam, in quam cadit iustitia et iniustitia, illam omnino praeditam etiam ratione; utraque enim ad rationem pertinet.

**729** Cicero de nat. deor. II 123. Pina vero — duabus grandibus patula conchis cum parva squilla quasi societatem coit comparandi cibi, itaque cum pisciculi parvi in concham hiantem innataverunt, tum admonita squillae morsu pina comprimit conchas. Sic dissimillimis bestiolis communiter cibus quaeritur. 124 In quo admirandum est, congressune aliquo inter se an iam inde ab ortu natura ipsa congregatae sint.

**729a** Athenaeus Deipnosoph. III p. 89d. Χρύσιππος δ᾽ ὁ Σολεὺς ἐν τῷ πέμπτῳ περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς „ἡ πίννη, φησί, καὶ ὁ πιννοτήρης συνεργὰ ἀλλήλοις, κατ᾽ ἰδίαν οὐ δυνάμενα συμμένειν. ἡ μὲν οὖν πίννη ὄστρεόν ἐστιν, ὁ δὲ πιννοτήρης καρκίνος μικρός. καὶ ἡ πίννη διαστήσατα τὸ ὄστρακον

---

Diog. Laërt. VII 81. 37 squillae morsu pina *Heindorf,* squilla pina morsu (*vel* morsus) *libri.* 39 natura ipsa *Walker,* natura ipsae A, naturae ipsae *ceteri.* — Cf. III n. 369. 41 libri *ἐκ τοῦ ε´.* 42 *μένειν* coni. Coraes.

ἡϲυχάζει τηροῦϲα τὰ ἐπειϲιόντα ἰχθύδια, ὁ δὲ πιννοτήρηϲ παρεϲτώϲ, ὅταν εἰϲέλθῃ τι, δάκνει αὐτὴν ὥϲπερ ϲημαίνων, ἡ δὲ δηχθεῖϲα ϲυμμύει· καὶ οὕτωϲ τὸ ἀποληφθὲν ἔνδον κατεϲθίουϲι κοινῇ.

**729b** Plutarchus *πότερα τῶν ζῴων φρονιμώτερα* cp. 30 p. 980a. *ἀλλὰ μᾶλλον ἐπὶ τὰς κατ' ἰδίαν κοινωνίας αὐτῶν καὶ συμβιώσεις ἰτέον* (sc. *ζῴων*). *ὧν ἐστι καὶ ὁ τὸ πλεῖστον ἐξαναλώσας Χρυσίππου μέλαν πιννοτήρας, παντὶ καὶ φυσικῷ βιβλίῳ καὶ ἠθικῷ προεδρίαν ἔχων· τὸν γὰρ σπογγοτήραν οὐχ ἱστόρηκεν, οὐ γὰρ ἂν παρέλιπεν. ὁ μὲν οὖν πιννοτήρας ζῷόν ἐστι καρκινῶδες, ὥς φασι, καὶ τῇ πίννῃ σύνεστι καὶ πυλωρεῖ τὴν κόγχην προκαθήμενος ἐῶν ἀνεῳγμένην καὶ διακεχηνυῖαν, ἄχρι οὗ προσπέσῃ τι τῶν ἁλωσίμων αὐτοῖς ἰχθυδίων· τότε δὲ τὴν σάρκα τῆς πίννης δακὼν παρεισῆλθεν, ἡ δὲ συνέκλεισε τὴν κόγχην, καὶ κοινῶς τὴν ἄγραν ἐντὸς ἕρκους γενομένην κατεσθίουσι.*

**730** Philo de animalibus adv. Alexandrum p. 169 Aucher. Quae vero dicuntur de pina et satellite eius, communem societatem demonstrant. — — Quisquis autem haesitat, discat ex arboribus plantisque. — — Hae enim etsi nullam habeant animae partem, tamen familiaritatis abalienationisque non minorem praeferunt manifestationem. Moventur et crescunt atque tamquam osculo dilectionis salutando amplectuntur se invicem, ut olivam hedera et ulmum vitis; aliquas tamen non solum aversatur (vitis), verum etiam evitat. — — — S e d  n e m i n e m  a r b i t r o r  a d e o  i n s a n i r e,  u t  a u d e a t  d i c e r e,  h a e c  e x  f i d e l i s  a m i c i t i a e  a u t  h o s t i l i t a t i s  a n i m o  o r i r i,  s e d  s u p r e m a e  n a t u r a e  r a t i o n e  q u a e d a m  i n  u n u m  a d d u c u n t u r,  a l i a  d i s i u n g u n t u r,  h a u d  s i b i  i n v i c e m  c o n v e n i e n t i a. Hoc itaque tenore existimo falsum esse animalia mortalia quaeque praeter hominem contrarietatem societatemque et quae ad istas referuntur rationali cum harmonia prae se ferre. Haec enim omnia ratione et mente solent conciliari; similitudines vero et tamquam imagines in animalibus delineari contigit; et speciem contemptus vel honoris, studii, gratiarum actionis et consimilium rerum exhibent aliqua subobscura delineamenta impressa, quae non pertinent ad veritatem; quandoquidem propriae, certae et solidae formae in animis sunt hominum.

**731** Philo de animalibus adv. Alexandrum p. 163 Aucher. Considera — — utrum apes et araneae, puta quod textrices istae sint, illae favum mellis creabunt, iuxta artisne industriam ingeniosam (id faciant), aut absque ratione per actionem naturalem. Siquidem horum omnino, si oportet verum fateri, admirabilis habenda diligentia, q u a e  t a m e n  n o n  a  d i s c i p l i n a  d e d u c t a  e s t.  A d  q u i d  e n i m  d i s c i p l i n a,  q u a m  n o n  p r a e c e d e t  c o m p r e h e n s i o  s c i e n t i a e,  q u a e  o p o r t e t  e s s e  a r t i u m  p r i n c i p i u m?  q u o n i a m  a r s  e s t  c o l l e c t i o  c o n c o r d a n t i u m  c o n c e p t o r u m.

**732** Philo de animalibus adv. Alexandrum p. 163 Aucher. Volucres solent per aërem volare, aquatilia natare et gradi terrestria. An id per studium doctrinae? Minime; sed suapte natura singula memorata haec agunt. Similiter et apes sine doctrina naturaliter favum peragunt, et

---

8 ⟨*ἐν*⟩ *παντὶ* Wy. 41 concepta *Aucher,* sed fuit in graeco: *σύστημα ἐκ καταλήψεων.*

araneae quasi per se edoctae subtilem illam elaborationem textorum moliuntur. Siquis autem aliter putat, adeat arbores, et perspiciens videbit cuiusque dotes clarissimas, quia et in istis multa sunt absque arte artificiosa. Vitem non vides, dum in diebus vernalibus germen producit? Primum enim foliis illud operit, deinde more matris paulatim nutrit, et id augmentum ducit; postmodum remutans ex acido uvam efficit, donec omnino maturet fructum. At instructane his fuit cura adhibita? Certe omnino per mirabilem operique praesidentem naturam par fuit non solum utilissimo fructui ferendo, verum etiam adornando trunco decore. — — — Dicimus enim et de invisibilibus naturis, quod, cum ordinatae et artificiosae sint, integrum servant esse rationales, etiam illa, quae omnino carent anima. Revera tamen non ista dantur, et in praedictis animalibus. Cuncta enim peragunt non provida curatione ac consilio, sed secundum irrevocabilem operationem eliciunt ex propria constructione proprietates naturales. p. 165. Haud consulto — scorpio attollens aculeum dimovet, ac si per electionem statuerit debere ulcisci eum, qui iam injuriam sibi fecerit. — — Item comparatio victus et morborum curatio et his similia iterum sunt naturae inventiones innatae animalibus invisibili virtute. Et haec omnia possident, ut salva se servent et ut vindicent se ab invasoribus.

**733** Philo de animalibus adv. Alexandrum p. 168 Aucher. Quodsi censeas alia (scil. bruta animalia) praedita esse oeconomica quadam prudentia, ut formica et apis, cum nemo istarum tamen politica gaudeat, concedas oportet posse falsum esse in specie, quod verum sit in genere sub quo cadit. Ut puto, non ignoras, quod eorum est oeconomia, quorum et politice; unius enim utraque virtutis proles, etsi sub specie pares, impares tamen magnitudine, ut domus et civitas. Atqui deest iis politice, neque ergo dispensatio dicenda est de illis.

„At quid quis dicere potest, inquies, cum antea collectione facta condit in thesauros formica et horrea sibi prius parat? His utilius in opus exit apis et collectis floribus alvearique pulchre constructo mirifice mel facit.“ Ita quidem ego etiam dico. Dico tamen haec providentiae, non animalium ratione carentium, sed eius qui universam moderatur naturam esse tribuenda. Illud enim (animal) nihil agit intellectu. Isti vero (deo) cura est variis de rebus; ut nimirum, sicut Creator, impetum singularum creaturarum constringit ac corroborat ad id, propter quod factae sunt, sive ad eam quae singulis convenit perfectionem.

**734** Philo de animalibus adv. Alexandrum p. 171 Aucher. Hactenus satis locuti de ratione existente in intellectu, locutionem nunc examinemus. Siquidem merulae et corvi et psittaci et consimiles, etsi varie vocem proferant, articulatum tamen nunquam et nullo modo vocabulum pronuntiare queunt. Sed puto quod quemadmodum in instrumentis musicis foramina quamvis habeant portionem veritatis constantis, non tamen rationales sonitus sunt constantes, sed forma carentes et consequenter nihil manifeste exponere possunt, ita et praedictorum animantium voces sunt significatione

---

43 Contrarium affirmatur II n. 223.

carentes et deformes, veritatem formae sermonis non vocabuli modo exprimentes, sed per cantilenam etc.

**735** Alexander Aphrod. de mixtione p. 233, 14 Bruns. *ἐπεὶ δὲ πρὸς κατασκευὴν τοῦ σῶμα διὰ σώματος χωρεῖν χρῶνται καὶ ταῖς τῶν ζῴων διὰ τῆς τροφῆς αὐξήσεσιν — ἡ γὰρ αὔξησις τῇ προσθήκῃ τῆς τροφῆς ⟨γίνεται· ὥστε εἰ⟩ πάντῃ [καὶ] αὔξεται τὰ αὐξανόμενα, πάντῃ ἂν ἡ τροφὴ προσκρίνοιτο τῷ προϋπάρχοντι σώματι. οὐχ οἷόν τε δὲ πάντῃ προσκριθῆναι τὴν μὴ διὰ παντός τε καὶ πρὸς πᾶν ἐνεχθεῖσαν· ἀλλ' εἰ διὰ παντὸς ἡ τροφὴ τοῦ σώματος φέρεται, σῶμα οὖσα, ἀναγκαῖον εἶναι δόξει, σῶμα διὰ σώματος χωρεῖν, εἴγε μόνως οὕτως οἷόν τε τὴν ἐκ τῆς τροφῆς προσθήκην παντὶ τῷ τρεφομένῳ γίνεσθαι σώματι — ὅτι οὖν μὴ οὕτως τὸ τρέφεσθαί τε καὶ αὔξεσθαι γίνεται (οὐδὲν γὰρ τῶν ἀδυνάτων γίνεται) φέρε ⟨παραστήσω⟩ ἐκθέμενος τὴν Ἀριστοτέλους δόξαν τὴν περὶ αὐξήσεώς τε καὶ τροφῆς.*

p. 234, 23. *εἴτε σώματι λέγοιτο ἡ αὔξησις γίνεσθαι προστιθεμένῳ, ἔσται σῶμά τε διὰ σώματος χωροῦν καὶ γινόμενον σώματι, εἴγε καθὸ μὲν αὔξεταί τι, κατὰ τοῦτο τὴν προσθήκην λαμβάνει· κατὰ πάντα δὲ τὸ αὐξόμενον αὔξεται· ὥστε κατὰ πᾶν καὶ προσθήκην λήψεται. ἀλλ' εἰ σῶμα ὂν κατὰ πᾶν ἑαυτὸ τὴν προσθήκην λαμβάνει, δεήσει διὰ παντὸς αὐτοῦ χωροῦν τὸ προστιθέμενον αὐτῷ (τοῦτο δέ ἐστιν ἡ τροφή) τὴν αὔξησιν αὐτοῦ ποιεῖσθαι. εἰ γὰρ λέγει τις διά τινων κενῶν γενέσθαι τὴν δίοδον τῆς τροφῆς, ἀνάγκη τούτῳ λέγειν πᾶν τὸ τρεφόμενον σῶμα εἶναι κενόν, εἰ καθὸ μὲν ἡ πάροδος τῆς τροφῆς, κενὸν κατὰ τοῦτο· κατὰ πάντα δ' αὐτοῦ ἡ πάροδος τῆς τροφῆς, εἰ δὴ κατὰ πάντα αὔξεται.*

**736** Galenus de symptomatum causis III 4. Vol. VII p. 227 K. *ὅσοι δ' οὐ συγχωροῦσιν ὑπὸ τροφῆς ἀλλοιοῦσθαι τὰ τρεφόμενα (κρατουμένου γάρ, οὐ κρατοῦντος ὄνομα ὑπάρχειν τὴν τροφήν), οὔτε περὶ τῆς κατὰ τὰ ζῷα μεταβολῆς οὔτε πολὺ μᾶλλον ἔτι περὶ τῆς κατὰ τὰ φυτὰ δύνανται λέγειν ὑγιὲς μηδέν* etc.

ibid. 228. *ὅσοι φάσκουσι κρατουμένου καὶ ἀλλοιουμένου καὶ μεταβαλλομένου τὴν τροφὴν ὑπάρχειν ὄνομα* etc.

ibid. *τὸ μὲν ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν ἔργον ἐστὶ τοῦ τρεφομένου, τὸ δ' ὁμοιοῦσθαί τε καὶ μεταβάλλεσθαι πάθος τῆς τροφῆς.*

**737** Plinius Not. Hist. XXX 103. *Chrysippus philosophus tradidit phryganion adalligatum remedio esse quartanis. quod esset animal neque ille descripsit nec nos invenimus qui novisset. demonstrandum tamen fuit a tam gravi auctore dictum, si cuius cura efficacior esset inquirendi.*

## § 3. De natura hominis.

**738** Cicero de legibus I 8, 24. Nam cum de natura hominis quaeritur, disputari solet — — perpetuis cursibus conversionibus⟨que⟩ cae-

---

6 *γίνεται· ὥστε εἰ* addidi. ‖ *καὶ* expunxi. 8 *μὴ* Bruns, *μίαν* libri. 12 *παραστήσω* scripsi, *καὶ ὢν* libri. 15 *δεχόμενον σῶμά τι* Bruns. 18 *αὐτοῦ* Apelt, *αὐτὸ* libri. 21 *τούτῳ* Bruns, *τοῦτο* libri. 39 hominis *Victorius*, omni *libri.* 40 que *add. Ernesti,* cursibus *delent alii.*

lestibus exstitisse quandam maturitatem serendi generis humani; quod sparsum in terras atque satum divino auctum sit animorum munere.

**739** Origenes contra Celsum I 37 Vol. I p. 89, 1 Kö. (p. 355 Delarue). *καὶ κατ' αὐτοὺς δὲ τοὺς Ἕλληνας οὐ πάντες ἄνθρωποι ἐξ ἀνδρὸς καὶ γυναικὸς ἐγένοντο· εἰ γὰρ γενητός ἐστιν ὁ κόσμος, ὡς καὶ πολλοῖς Ἑλλήνων ἤρεσεν, ἀνάγκη τοὺς πρώτους μὴ ἐκ συνουσίας γεγονέναι, ἀλλ' ἀπὸ γῆς, σπερματικῶν λόγων συστάντων ἐν τῇ γῇ.*

**740** Philo quaest. et solut. in Genesin III 48 (p. 222 Aucher). Porro magis naturalius instruit eos, qui se causam generationis existimant, vix animum referentes ad videndum genitorem universorum. Ipse enim est verus ac verax pater, nos autem, qui genitores dicimur, instrumenta sumus ad serviendum generationi. Quoniam sicut in mira similitudine omnia, quae vident, inanimata sunt, quod vero nervos corroborat, invisibile quidem est, ipsum tamen causa exsistit virtutis motusque visus, simili modo ex sempiterno invisibilique spatio e x t e n d i t v i r t u t e s c o n d i t o r u n i v e r s o r u m, n o s a u t e m t a m q u a m m i r a c u l a n e r v i s c o r r o b o r a m u r a d i d, q u o d a d n o s a t t i n e t, s e m e n e t g e n e r a t i o n e m; nisi velimus etiam fistulam putare per se flatam esse, non vero ab artifice distributam ad harmoniae productionem, qua instrumentum in servitium ac opus necessarium fuit constructum.

**741** Diogenes Laërt. VII 158. *σπέρμα δὲ λέγουσιν εἶναι τὸ οἷόν τε γεννᾶν τοιαῦτα ἀφ' οἵου καὶ αὐτὸ ἀπεκρίθη. ἀνθρώπου δὲ σπέρμα, ὃ μεθίησιν ὁ ἄνθρωπος μεθ' ὑγροῦ, συγκιρνᾶσθαι τοῖς τῆς ψυχῆς μέρεσι κατὰ μιγμὸν τοῦ τῶν προγόνων λόγου. εἶναι δὲ αὐτὸ Χρύσιππός φησιν ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν πνεῦμα κατὰ τὴν οὐσίαν, ὡς δῆλον ἐκ τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα οὐκέτι φύεται, ὡς δῆλον διαπεπνευκυίας αὐτοῖς τῆς δυνάμεως.*

**742** Galenus defin. medicae 94 Vol. XIX p. 370 K. *σπέρμα ἐστὶ πνεῦμα ἔνθερμον ἐν ὑγρῷ ἐξ ἑαυτοῦ κινούμενον καὶ δυνάμενον τοιοῦτον γεννᾶν οἷον ἀφ' οὗ καὶ ἀφείθη. — — ὁ δὲ Κιτιεὺς Ζήνων οὕτως ὡρίσατο· σπέρμα ἐστὶν ἀνθρώπου ὃ μεθίησιν ἄνθρωπος μεθ' ὑγροῦ ψυχῆς μέρους ἅρπαγμα καὶ σύμμιγμα τοῦ τῶν προγόνων γένους, οἷόν τε αὐτὸ ἦν καὶ αὐτὸ συμμιχθὲν ἀπεκρίθη.*

ibid. 439. *τὸ σπέρμα ἐστὶν κατὰ μὲν τοὺς Στωϊκοὺς ὃ μεθίησι τὸ ζῷον ὑγρὸν μετὰ πνεύματος καὶ ψυχῆς, ὡς δὲ οὐ μέρος.*

**743** Galenus de foet. format. 6. K. IV 699 ed. Bas. I 221. *μάλιστα δ' ἂν τις θαυμάσειε τὴν πρὸς τοὺς γεννήσαντας ὁμοιότητα τῶν ἐκγόνων, ὅπως γίγνεται· φαίνεται γὰρ πάλιν ἡ διαπλάττουσα τὸ σῶμα ψυχὴ παρὰ τῶν γονέων εἰς τὸ κυούμενον ἥκειν, ὡς ἐν τῷ σπέρματι περιεχομένη. — — Καὶ πού τινες αὐτῶν οὐχ ὕλην ἀλλ' ὄργανον ὑπάρχειν αὐτῆς τὸ σπέρμα φασίν, ὕλην γὰρ εἶναι τὸ τῆς μητρὸς αἷμα, λεγόντων ἑτέρων* (scil. *τῶν*

---

2 atque factum ABH¹. 22 *οὗ* F. 24 *μεθ' ὑγροῦ—μέρεσι* verba corrupta. *συγκρίνασθαι* B. ‖ *τοῦ προγόνου λόγου* B. 27 *αὐτῶν* (compend.) B *αὐτοῖς* (*οἷς* in litura) P³. 31 haec valde corrupta esse patet. Cf. I n. 128 (Zeno).

Στωϊκῶν) τἀναντία· δοκεῖ γὰρ αὐτοῖς ὁ τεχνίτης αὐτὸς εἶναι τὸ σπέρμα, τισὶ μὲν ὅλον, ἐνίοις δὲ τὸ περιεχόμενον ἐν αὐτῷ πνεῦμα. καί μοι περὶ τούτων ἰδίᾳ γέγραπται κατά τι βιβλίον, ἐν ᾧ περὶ τῶν ὑπὸ Χρυσίππου λεγομένων ἐν τοῖς περὶ ψυχῆς αὐτοῦ γράμμασιν ἐπισκέπτομαι.

Cf. ibid. K. 700. τὴν ἐν τῷ σπέρματι ψυχήν, φυτικὴν μὲν ὑπὸ τῶν περὶ τὸν Ἀριστοτέλην καλουμένην, ἐπιθυμητικὴν δὲ ὑπὸ Πλάτωνος, ὑπὸ δὲ τῶν Στωϊκῶν οὐδὲ ψυχὴν ὅλως, ἀλλὰ φύσιν, ἡγουμένων διαπλάττειν τὸ ἔμβρυον οὐ μόνον οὐκ οὖσαν σοφήν, ἀλλὰ καὶ παντάπασιν ἄλογον etc.

**744** Plutarchus de comm. not. cp. 35 p. 1077b. ἢ καί φασιν (scil. Stoici) τὸ μὲν σπέρμα ⟨διὰ⟩ τὴν ἐπὶ μικρὸν ὄγκον ἐκ πολλοῦ ‘σπείρασιν’ ὠνομάσθαι, τὴν δὲ ‘φύσιν’ ἐμφύσησιν οὖσαν καὶ διάχυσιν τῶν ὑπ' αὐτῆς ἀνοιγομένων καὶ λυομένων λόγων ἢ ἀριθμῶν.

**745** Philo de mundi opificio § 67 Vol. I p. 22, 13 Wendl. Τὸ σπέρμα τῶν ζῴων γενέσεως ἀρχὴν εἶναι συμβέβηκε. Τοῦτο ὡς ἔστι φαυλότατον, ἐοικὸς ἀφρῷ θεωρεῖται· ἀλλ' ὅταν εἰς τὴν μήτραν καταβληθὲν ἐνστηρίσῃ, κίνησιν εὐθὺς λαβὸν εἰς φύσιν τρέπεται. Φύσις δὲ βελτίων σπέρματος, ἐπεὶ καὶ κίνησις ἠρεμίας ἐν γενητοῖς. Ἡ δὲ οἷα τεχνίτης ἢ κυριώτερον εἰπεῖν ἀνεπίληπτος τέχνη ζῳοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσα, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν.

**746** Origenes in evang. Ioannis XX 2. Καὶ σαφές γε ὅτι τὸ μὲν σπέρμα [τινὰς] ἔχει τοὺς λόγους τοῦ σπείραντος ἐν ἑαυτῷ, ἔτι ἡσυχάζοντας καὶ ἀποκειμένους· τὸ δὲ τέκνον, μεταβαλόντος τοῦ σπέρματος καὶ ἐργασαμένου τὴν παρακειμένην αὐτῷ ὕλην, ἀπὸ τῆς γυναικὸς καὶ τῶν ἐπισυναγομένων τροφῶν μορφωθὲν καὶ εἰς γένεσιν εὐτρεπισθὲν ὑφίσταται.

**747** Origenes in evang. Ioannis XX 5. Ὃ δὲ λέγω ἔσται σαφὲς ἐκ τῶν λεχθησομένων· ἐπεὶ γὰρ ἔχει ἐν ἑαυτῷ προγονικούς τε καὶ συγγενικοὺς λόγους ὁ σπείρων, ὁτὲ μὲν κρατεῖ ὁ αὐτοῦ λόγος καὶ ἀποτίκτεται τὸ γεννώμενον τῷ σπείραντι ὅμοιον, ὁτὲ δὲ ὁ λόγος τοῦ ἀδελφοῦ τοῦ σπείραντος ἢ τοῦ πατρὸς τοῦ σπείραντος ἢ τοῦ θείου τοῦ σπείραντος, ἐνίοτε καὶ πάππου τοῦ σπείραντος· παρ' ὃ γίνονται οἱ ἀποτικτόμενοι ὅμοιοι τοῖσδε ἢ τοῖσδε. Ἔστι δὲ ἰδεῖν ἐπικρατοῦντα καὶ τὸν λόγον τῆς γυναικὸς ἢ τοῦ ἀδελφοῦ αὐτῆς ἢ τοῦ πάππου αὐτῆς, κατὰ τοὺς ἐν ταῖς μίξεσι βρασμοὺς ἅμα πάντων σειομένων ἕως ἐπικρατήσῃ τις τῶν σπερματικῶν λόγων.

**748** Scholia in Hom. Iliad. Φ 483. ἐπειδὴ κατὰ μὲν τὰς πανσελήνους νύκτας, ὥς φησι Χρύσιππος, εὐτοκώταται γίνονται αἱ γυναῖκες, κατὰ δὲ σκοτομηνίας δύστοκοι ἄγαν.

Scholia Genevensia I p. 210 Nicole. Χρύσιππος ἐν τῷ περὶ ἀρχαίας φυσικῆς δεικνὺς ὅτι σελήνη ἡ Ἄρτεμις καὶ τὰ περὶ τόκους δὲ εἰς αὐτὴν ⟨ἀναφέρων, λέγει ἐν⟩ ταῖς πανσελήνοις οὐ μόνον τὰς γυναῖκας εὐτοκωτάτας εἶναι, ἀλλὰ γίγνεσθαι ⟨ῥᾳδίως τὰ ζῷα⟩ πάντα.

**749** Aëtius Plac. V 11, 3. Οἱ Στωϊκοὶ ἀπὸ τοῦ σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὸ σπέρμα καὶ τῆς ὁμοιότητος ἀναπλάττεσθαι ἐκ τῶν

---

10 διὰ add. Dü. 15 στηρίσει V, ἐνστήριξιν ἢ M, ἐνστηριχθῇ coni. Mang. 16 βέλτιον M, βέλτειον V. 17 γεννητοῖς ABP. 23 vulg. μεταβάλλοντος. 43 τὸ σπέρμα scripsi, τὰ σπέρματα libri. ‖ τῆς ὁμοιότητος scripsi, τὰς ὁμοιότητας libri.

αὐτῶν γενῶν τοὺς τύπους καὶ τοὺς χαρακτῆρας, ὥσπερ ἂν εἰ ζωγράφον ἀπὸ τῶν ὁμοίων χρωμάτων εἰκόνα τοῦ βλεπομένου.

4. Προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα· κἂν μὲν ἐπικρατήσῃ τὸ τῆς γυναικός, ὅμοιον εἶναι τὸ γεννώμενον τῇ μητρί, ἐὰν δὲ τὸ τοῦ ἀνδρὸς τῷ πατρί.

**750** Aëtius Plac. V 10, 4 (Πῶς δίδυμα καὶ τρίδυμα γίνεται G 114). Οἱ Στωϊκοὶ παρὰ τοὺς ἐν τῇ μήτρᾳ τόπους, ὅταν γὰρ εἰς πρῶτον καὶ δεύτερον ἐμπέσῃ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ τὰ δίδυμα καὶ τὰ τρίδυμα.

**751** Aëtius Plac. V 9, 2 (Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει) G. 113. Οἱ δὲ Στωϊκοὶ κατὰ λοξότητα τοῦ καυλοῦ μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν ἢ παρὰ τὸ ἀσύμμετρον τῶν μορίων, ὡς πρὸς τὴν ἀπόστασιν τῆς μήτρας.

**752** Aëtius Plac. V 13, 3 (Πῶς στεῖραι γίνονται αἱ γυναῖκες καὶ ἄγονοι οἱ ἄνδρες). Οἱ Στωϊκοὶ αἰτιῶνται τὰς ἀσυμφύλους εἰς ἑκάτερον τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας, οἷς ὅταν συμβῇ χωρισθῆναι μὲν ἀπ' ἀλλήλων, συνελθεῖν δὲ ἑτέροις ὁμοφύλοις, συνεκράθη τὸ κατὰ φύσιν καὶ βρέφος τελεσιουργεῖται.

**753** Aëtius Plac. V 12, 3 (Πῶς ἄλλοις γίνονται ὅμοιοι οἱ γεννώμενοι καὶ οὐ τοῖς γονεῦσιν). Οἱ Στωϊκοὶ συμπαθείᾳ τῆς διανοίας.

**754** Aëtius Plac. V 16, 2 (Πῶς τρέφεται τὰ ἔμβρυα G. 120). Οἱ Στωϊκοὶ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ. ὅθεν τοῦτον εὐθέως ἀποδεῖν τὰς μαιουμένας καὶ ἀνευρύνειν τὸ στόμα, ἵνα ἑτέρα γένηται ἡ μελέτη τῆς τροφῆς.

**755** Aëtius Plac. V 17, 1. Οἱ Στωϊκοὶ ἅμα ὅλον γίγνεσθαι (scil. τὸ ἔμβρυον).

**756** Aëtius Plac. V 15, 2. Οἱ Στωϊκοὶ μέρος εἶναι αὐτὸ (scil. τὸ ἔμβρυον) τῆς γαστρός, οὐ ζῷον· ὥσπερ γὰρ τοὺς καρποὺς μέρη τῶν φυτῶν ὄντας πεπαινομένους ἀποῤῥεῖν, οὕτω καὶ τὸ ἔμβρυον.

**757** Galenus defin. medicae 445 Vol. XIX p. 452 K. οἱ δὲ μὴ εἶναι ζῷον λέγοντες (scil. τὸ ἔμβρυον) τρέφεσθαι μὲν αὐτὸ καὶ αὔξεσθαι ὥσπερ καὶ τὰ δένδρα, ὁρμὴν δὲ καὶ ἀφορμὴν οὐκ ἔχειν ὥσπερ τὰ ζῷα.

**758** [Galenus] εἰ ζῷον τὸ κατὰ γαστρὸς 2 Vol. XIX p. 165 K. μόριον γὰρ καὶ ἀπόσπασμα ὂν τοῦ μεγάλου ζῴου τοῦ κόσμου μένον μὲν ἐν μυχοῖς καὶ φωλεῦον συγκρίσεως ἐπέχει λόγον, διακριθὲν δὲ καὶ γενόμενον ἔξω τούτου τοῦ βάθους οἷον χάους ἀσπάζεται τὴν ὁμόφυλον καὶ ὁμοίαν φύσιν ταῖς τῆς ἐνεργείας πράξεσιν· κινεῖσθαι γὰρ ταῖς ἐξ αὐτοῦ κινήσεσιν ἄρχεται.

**759** Philo de fortitudine p. 398 Vol. II. Mang. Εἰ γὰρ τὰ φυτῶν τρόπον ἐμπεριαυξανόμενα καὶ μέρη νομιζόμενα τῶν κυούντων, νῦν μὲν ἡνωμένα, μηνῶν δὲ περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμφυΐας — φυλάττεται etc.

**760** Philo de fuga et inventione § 13 Vol. III p. 112, 15 Wendl. Τὸ γὰρ γενόμενον ζῷον ἀτελὲς μέν ἐστι τῷ ποσῷ· μάρτυρες δ' αἱ καθ' ἡλικίαν ἑκάστην παραυξήσεις· τέλειον δὲ τῷ ποιῷ· μένει γὰρ ἡ αὐτὴ ποιότης, ἅτε ἀπὸ μένοντος ἐκμαγεῖσα καὶ μηδαμῇ τρεπομένου θείου λόγου.

---

5 § 4 Stoicorum non esse monet Diels coll. Laërt. VII 159. 11 de lemmatis fide dubitat Diels. 16 οἷς Wilam., αἷς libri. 20 haec ad Stoicos pertinent, quae secuntur apud Plutarchum ad alios philosophos, quorum nomen intercidit (Wilam.). 24 ἅμα ὅλον Gal., τοῖς πολλοῖς libri.

**761** Galenus de foet. format. 4 K. IV 674. ed Bas. I 217. *Τί ποτ᾽ οὖν ἔδοξε Χρυσίππῳ καὶ ἄλλοις πολλοῖς φιλοσόφοις Στωϊκοῖς τε καὶ Περιπατητικοῖς ἀποφήνασθαι περὶ καρδίας, ὡς πρώτη τε φύεται τῶν τοῦ ζῴου μορίων, ὑπ᾽ αὐτῆς τε τἄλλα γίγνοιτο, καὶ ὡς τῷ πρώτως διαπλασθέντι καὶ φλεβῶν καὶ νεύρων ἀναγκαῖον ὑπάρχειν ἀρχήν;*

ibid. K. 677. *οἱ δέ γε ἀποφηνάμενοι τὴν καρδίαν πρώτην διαπεπλάσθαι, μήτε φαινόμενον ἐξ ἀνατομῆς ἔχοντες εἰπεῖν, ἐξ οὗ τὴν ἀρχὴν τῆς εὑρέσεως ἐποιήσαντο, μήτε λογικήν τινα ἀπόδειξιν ἄλλην, ἑτέραν ἀφ᾽ ἑτέρας συνάπτουσιν ἄγνοιαν, ὑπὸ τῆς καρδίας τἄλλα γεγονέναι φάσκοντες, εἶναί τε ταύτην, ὥσπερ τῆς γενέσεως αὐτῶν, οὕτω καὶ τῆς διοικήσεως ἡγεμόνα.*

ibid. 6. K. 698. ed. Bas. I 221. *πρώτην — ὑπόθεσιν — — ὑποτίθενται, τὴν καρδίαν ἁπάντων πρώτην γίγνεσθαι λέγοντες· δευτέραν δ᾽ ἐπὶ τῇδε, τἄλλα μόρια διαπλάττειν ἐκείνην, ὡς ἀπολλυμένου τοῦ διαπλάσαντος αὐτὴν καὶ μηκέτ᾽ ὄντος· εἶτ᾽ ἐφεξῆς ὡς ἀκόλουθον ἐπιφέροντες, ὅτι καὶ τὸ βουλευόμενον ἡμῶν μέρος τῆς ψυχῆς ἐν ταύτῃ καθέστηκεν· εἰ δὲ τὸ βουλευόμενον καὶ ⟨τὸ⟩ τῶν σιτίων, ὥς φασιν, καὶ πομάτων καὶ ἀφροδισίων καὶ χρημάτων ἐπιθυμοῦν, καὶ δηλαδὴ καὶ τὸ θυμούμενον καὶ φιλονεικοῦν* etc.

**762** Plutarchus de comm. not. cp. 44 p. 1083a. *Ὁ τοίνυν περὶ αὐξήσεως λόγος ἐστὶ μὲν ἀρχαῖος· ἠρώτηται γάρ, ὥς φησι Χρύσιππος, ὑπὸ Ἐπιχάρμου· τῶν δ᾽ ἐν Ἀκαδημείᾳ οἰομένων, μὴ πάνυ ῥᾴδιον μηδ᾽ αὐτόθεν ἕτοιμον εἶναι τὴν ἀπορίαν — — κατεβόησαν, ὡς τὰς προλήψεις ἀναιρούντων. — —* p. 1083c. *Οὕτω δέ πως τούτων λεγομένων καὶ τιθεμένων* (praecedit Academicorum sententia *περὶ αὐξήσεως*) *τί ἀξιοῦσιν οἱ πρόδικοι τῆς ἐναργείας οὗτοι καὶ κανόνες τῶν ἐννοιῶν; Ἕκαστον ἡμῶν δίδυμον εἶναι καὶ διφυᾶ καὶ διττόν — — δύο σώματα ταὐτὸν ἔχοντα χρῶμα, ταὐτὸν δὲ σχῆμα, ταὐτὸν δὲ βάρος καὶ τόπον ⟨τὸν αὐτόν, καὶ ταὐθ᾽⟩ ὑπὸ μηδενὸς ἀνθρώπων ὁρώμενα πρότερον — — ὡς δύο ἡμῶν ἕκαστός ἐστιν ὑποκείμενα, τὸ μὲν οὐσία, τὸ δὲ ⟨ποιότης⟩· καὶ τὸ μὲν ἀεὶ ῥεῖ καὶ φέρεται, μήτ᾽ αὐξόμενον μήτε μειούμενον, μήτε ὅλως οἷόν ἐστι διαμένον, τὸ δὲ διαμένει καὶ αὐξάνεται καὶ μειοῦται καὶ πάντα πάσχει τἀναντία θατέρῳ, συμπεφυκὸς καὶ συνηρμοσμένον καὶ συγκεχυμένον, καὶ τῆς διαφορᾶς τῇ αἰσθήσει μηδαμοῦ παρέχον ἅψασθαι.*

**763** Plutarchus de Stoic. repugn. cp. 29 p. 1047b. Ἐν δὲ ταῖς Φυσικαῖς Θέσεσι περὶ τῶν ἐμπειρίας καὶ ἱστορίας δεομένων διακελευ-

---

17 *τὸ* addidi. 29 *τὸν—ταὐθ᾽* supplevit Bernard., 15 litterarum spatium in cod. B. 31 *ποιότης* add. Wy., *ποιὸν* Zeller.

σάμενος τὴν ἡσυχίαν ἔχειν, ἂν μήτι κρεῖττον καὶ ἐναργέστερον ἔχωμεν λέγειν „ἵνα, φησί, μήτε Πλάτωνι παραπλησίως ὑπονοήσωμεν, τὴν μὲν ὑγρὰν τροφὴν εἰς τὸν πλεύμονα φέρεσθαι, τὴν δὲ ξηρὰν εἰς τὴν κοιλίαν, μήτε ἕτερα παραπλήσια γεγονότα τούτοις διαπτώματα.“

**764** Aëtius Plac. V 23, 1. *Ἡράκλειτος καὶ οἱ Στωϊκοὶ ἄρχεσθαι τοὺς ἀνθρώπους τῆς τελειότητος περὶ τὴν δευτέραν ἑβδομάδα, περὶ ἣν ὁ σπερματικὸς κινεῖται ὀρρός. καὶ γὰρ τὰ δένδρα ἄρχεται τότε τελειότητος, ὅταν ἄρχηται γεννᾶν τὰ σπέρματα, ἀτελῆ δέ ἐστιν ἄωρα καὶ ἄκαρπα ὄντα· τέλειος οὖν τότε ἄνθρωπος· περὶ δὲ τὴν δευτέραν ἑβδομάδα ἔννοια γίνεται καλοῦ τε καὶ κακοῦ καὶ τῆς διδασκαλίας αὐτῶν.*

**765** Galenus de usu respirationis toto libro probare studet, *ὅτι ἡ ἀναπνοὴ γίνεται διὰ ψύξιν τινὰ τῆς ἐμφύτου θερμασίας.*

**766** Diogenes Laërt. VII 158. *τὸν δὲ ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. αἰτίας δὲ τῶν παθῶν ἀπολείπουσι τὰς περὶ τὸ πνεῦμα τροπάς.*

**767** Aëtius Plac. V 24, 4. *Πλάτων οἱ Στωϊκοὶ τὸν μὲν ὕπνον γίνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος, οὐ κατὰ ἀναχαλασμὸν καθάπερ † ἐπὶ τῆς γῆς, φερομένου δὲ ὡς ἐπὶ τὸ ἡγεμονικὸν μεσόφρυον· ὅταν δὲ παντελὴς γένηται ἡ ἄνεσις τοῦ αἰσθητικοῦ πνεύματος, τότε γίγνεσθαι θάνατον.*

**768** Tertullianus de anima cp. 43. Stoici somnum resolutionem sensualis vigoris affirmant etc.

ibid. — — si forte cum Stoicis resolutionem sensualis vigoris somnum determinemus.

**769** Aëtius Plac. V 30, 5. *Οἱ Στωϊκοὶ συμφώνως* (scil. *τῷ Παρμενίδῃ*) *τὸ γῆρας γίγνεσθαι διὰ τὴν τοῦ θερμοῦ ἔλλειψιν. οἱ γὰρ αὐτῶν πλέον ἔχοντες τὸ θερμὸν ἐπὶ πλεῖον γηρῶσιν.*

**770** Galenus de temperamentis l. I cp. 3 (K. Vol. I p. 523). *ἀλλ' εἴπερ ὁ θάνατος, φασὶ* (scil. *οἱ ἀπ' Ἀθηναίου τοῦ Ἀτταλέως*), *τοιοῦτος* (scil. *ψυχρὸς καὶ ξηρός*), *ἀναγκαῖον ἤδη τὴν ζωήν, ὡς ἂν ἐναντίαν ὑπάρχουσαν αὐτῷ, θερμήν τε εἶναι καὶ ὑγράν· καὶ μὴν εἴπερ ἡ ζωή, φασι, θερμόν τι χρῆμα καὶ ὑγρόν ἐστιν, ἀνάγκη πᾶσα καὶ τὴν ὁμοιοτάτην αὐτῇ κρᾶσιν ἀρίστην ὑπάρχειν, εἰ δὲ τοῦτο, παντί που δῆλον ὡς εὐκρατοτάτην. ὥστ' εἰς ταὐτὸ συμβαίνειν ὑγρὰν καὶ θερμὴν φύσιν εὐκράτῳ, καὶ μηδὲν ἄλλο εἶναι τὴν εὐκρασίαν ἢ τῆς ὑγρότητός τε καὶ θερμότητος ἐπικρατούσης. οἱ μὲν δὴ τῶν ἀμφὶ τὸν Ἀθήναιον λόγοι τοιοίδε. δοκεῖ δέ πως ἡ αὐτὴ δόξα καὶ Ἀριστοτέλους εἶναι τοῦ φιλοσόφου καὶ Θεοφράστου γε μετ' αὐτὸν καὶ τῶν Στωϊκῶν.*

**771** Galenus adv. Iulianum 4 Vol. XVIII A p. 259. *οὐδὲν ἂν εὕροις οὔτ' Ἀριστοτέλους οὔτε Θεοφράστου βιβλίον, ἐν ᾧ, περὶ νοσημάτων ἀναγκασθέντες εἰπεῖν τι, ⟨ἄνευ τοῦ⟩ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ μνημονεῦσαι διῆλθον τὸν λόγον, ἀλλὰ καὶ τούτων ἀεὶ μέμνηνται καὶ σὺν*

---

8 *κινεῖται* Gal., *κρίνεται* libri Plut. 10 *περὶ δὲ — αὐτῶν* non iam ad Stoicos pertinere probat Galenus 127: *Ἀριστοτέλης δὲ κατὰ τὴν πρώτην ἑβδομάδα, καθ' ἣν ἔννοια γίνεται καλῶν τε καὶ αἰσχρῶν καὶ διδασκαλίας ἀρχή.* 17 *Στράτων* coni. Corsinus. 19 verba corrupta; aliam sensus remissionem significari sententia postulat. ‖ *μεσόφρυον* corruptum; fortasse *ἐσωτέρω ὄν*. 26 *γεγενῆσθαι* libri, corr. Diels. ‖ *αὐτῶν* scripsi, *αὐτοὶ* libri. 40 *ἄνευ τοῦ* inserui.

*αὐτοῖς πολλάκις ἑκατέρας τῆς χολῆς, μελαίνης τε καὶ ξανθῆς, οὐκ ὀλιγάκις δὲ καὶ φλέγματος, οἵ γε τὰς διαφορὰς αὐτῶν διέρχονται, τὸ μὲν ὀξύ, τὸ δ' ἁλμυρὸν ἢ ἁλυκόν, ἄλλο δὲ γλυκὺ προσαγορεύοντες. οὐ μὴν οὐδὲ Χρύσιππος ἑτέρως, ἀλλ' οὕτως ἀεὶ καὶ περὶ νοσημάτων καὶ περὶ τῶν χυμῶν διαλέγεται. ⟨καὶ⟩ εἴ τις ἐθέλοι μόνων τῶν εἰρημένων τριῶν ἀνδρῶν ἐκλέγειν τὰς ῥήσεις, οὐκ ὀλίγα πληρώσει βιβλία, σχολάζων δὴ οὕτως τις ὥσπερ Ἰουλιανὸς ἐπὶ τῆς Ἀλεξανδρείας ἐσχόλαζεν. ἐὰν δὲ καὶ τῶν ἄλλων, τῶν Στωϊκῶν ἢ Περιπατητικῶν ἐκλέγειν τὰς ῥήσεις, ὅλην βιβλιοθήκην πληρώσει.*

Cf. ibid. p. 258. *πότερον οὖν Ἀριστοτέλους καὶ Χρυσίππου καὶ τῶν ἄλλων ἁπάντων Περιπατητικῶν τε καὶ Στωϊκῶν ἑξῆς παραγράψω τὰς ῥήσεις, ἐν αἷς φλέγμα καὶ χολὴν αἰτιῶνται καὶ τὰ πρῶτα νοσήματα τέτταρα ὑπάρχειν φασίν, ὥσπερ καὶ τὰ στοιχεῖα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν* etc. Cf. etiam p. 264 et I n. 132.

772 Galenus de morborum causis 1 Vol. VII p. 1 K. *ἐδείχθη κατὰ μὲν τοὺς ἡνῶσθαί τε καὶ ἠλλοιῶσθαι τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ δοξάζοντας ἅπασα νόσος ὁμοιομεροῦς τε καὶ ἁπλοῦ πρὸς αἴσθησιν σώματος ἤτοι δυσκρασία τις ὑπάρχουσα ἢ τῆς συνεχείας αὐτοῦ τῶν μερῶν διαίρεσις.*

---

5 *καὶ* addidi. 6 *δὴ* scripsi, *δ'* ed.